καίως γὰρ ἔχει ἀπὸ τῶν πολὺ διαφερόντων ἢ κακῶν
ἢ ἀγαθῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. ἔπειτα
δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ, Σικελίαν,
Ἰταλίαν, Πελοπόννησον, Θετταλίαν, Ἑλλήσποντον, Ἰω-
νίαν, Κύπρον· βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν
7 ξυγγένηται, πλὴν τοῦ Συρακοσίου Διονυσίου. οὗτος δὲ
ἢ πάντων εὐτυχέστατός ἐστιν ἢ πλεῖστον γνώμῃ διαφέρει
τῶν ἄλλων, ὃς μόνος τῶν συγγενομένων Ἀνδοκίδῃ οὐκ
ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου, ὃς τέχνην ταύτην ἔχει,
τοὺς μὲν ἐχθροὺς μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους
ὅ τι ἂν δύνηται κακόν. ὥστε μὰ τὸν Δία οὐ ῥᾴδιόν
ἐστιν ὑμῖν αὐτῷ οὐδὲν χαρισαμένοις | παρὰ τὸ δίκαιον
λαθεῖν τοὺς Ἕλληνας.

8 Νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ βουλεύσασθαι περὶ αὐ-
τοῦ· εὖ γὰρ ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν
τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ Ἀν-
δοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους
9 ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. εἰς τοσοῦ-
τον δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει περὶ τοῦ νόμου,
ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος καὶ ἔξεστιν αὐτῷ
ἤδη εἰσιέναι εἰς τὴν ἀγορὰν καὶ εἰς τὰ ἱερά. <ἄλλως γὰρ
εἶναι> ἂν ἔτι καὶ νῦν Ἀθηναίων ἐν τῷ βουλευτηρίῳ.
10 καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν
ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις
περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς Εὐμολ-
πίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο καθελεῖν
οὐδὲ ἐτόλμησεν ἀντειπεῖν, οὐδὲ αὐτοὶ τὸν θέντα ἴσασιν·
ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον τοῖς ἀνθρώποις
11 ἀλλὰ καὶ τοῖς θεοῖς διδόναι δίκην. Ἀνδοκίδης δὲ το-
σοῦτον καταπεφρόνηκε τῶν θεῶν καὶ ὧν ἐκείνοις δεῖ
τιμωρεῖν, ὥστε πρὶν [μᾶλλον ἢ ἧττον] ἢ ἐπιδεδημηκέναι

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/64 UNIVERSITÄT LEIPZIG